# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

11

# Τάξις
# Εὐλογήσεως Πίττας
# πρὸς τιμὴν
# τοῦ Μεγάλου Βασιλείου
# ἐπὶ τῇ εἰσόδῳ
# εἰς τὸ Νέον Πολιτικὸν Ἔτος

Ἐκδόσεις
Ἱερᾶς Μητροπόλεως Ὠρωποῦ καὶ Φυλῆς
Φυλὴ Ἀττικῆς 2017

## ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

11

# Τάξις
# Εὐλογήσεως Πίττας
# πρὸς τιμὴν
# τοῦ Μεγάλου Βασιλείου
# ἐπὶ τῇ εἰσόδῳ
# εἰς τὸ Νέον Πολιτικὸν Ἔτος

## Περιεχόμενα

### Τάξις Εὐλογήσεως Πίττας*


| | | |
|---|---|---|
| ● | Εἴδησις | 5 |
| Α΄. | Ἔναρξις - Ἀπολυτίκια | 5 |
| Β΄. | Δεήσεις | 7 |
| Γ΄. | Εὐχὴ | 9 |
| Δ΄. | Ἀπόλυσις | 10 |


(*) **Πίττα**· ἀντιδάνειον· ἰταλικόν: pitta· λατινικόν: picta· ἀρχαῖον: πηκτή, θηλ. τοῦ ἐπιθ. πηκτός.


✠

© Ἱερὰ Μητρόπολις Ὠρωποῦ καὶ Φυλῆς


Φυλὴ Ἀττικῆς
Λεωφ. Φυλῆς 44 (Δημοτικὴ Ἑνότης Φυλῆς),
Τ.Κ. 133 51, ΦΥΛΗ - ΕΛΛΑΣ.
Ἀριθμ. Τηλεφ. Κλήσεως: 210 2487388
Τηλεαντίγραφα (Telefax): 210 2487389
E-mail: mitropolis-orfyl@hsir.org
Ἱστοσελίδα: www.hsir.org

# Τάξις
# Εὐλογήσεως Πίττας
# πρὸς τιμὴν
# τοῦ Μεγάλου Βασιλείου
# ἐπὶ τῇ εἰσόδῳ
# εἰς τὸ Νέον Πολιτικὸν Ἔτος

## Εἴδησις

Συμπαρόντων καὶ συνευχομένων τοῦ τε Κλήρου καὶ τοῦ Λαοῦ, ἄρχεται ἡ Ἀκολουθία, τοῦ Ἱερέως φέροντος Ἐπιτραχήλιον, τοῦ δὲ Διακόνου Στιχάριον σὺν Ὀραρίῳ.

* * *

## Α΄. ΕΝΑΡΞΙΣ - ΑΠΟΛΥΤΙΚΙΑ

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα!

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!

Ὁ Λαός·

Ἀμήν!

Τοῦ Διακόνου προσφέροντος θυμίαμα εἰς ἅπαντα τὸν Ναόν, ἀρχόμεθα εὐθὺς ψάλλειν τὰ ἑξῆς Τροπάρια·

Ὁ Λαός·

Ἀπολυτίκιον τῆς Ἑορτῆς.

Ἦχος α΄.

Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ᾿ οὐσίαν πολυεύσπλαγχνε Κύριε· καὶ νόμον ἐκπληρῶν, περιτομὴν θελήσει καταδέχῃ σαρκικήν, ἵνα παύσῃς τὰ σκιώδη καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ Σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ Σου· δόξα τῇ ἀνεκφράστῳ, Λόγε, συγκαταβάσει Σου.

Ἀπολυτίκιον τοῦ Μεγάλου Βασιλείου.

Ἦχος α΄.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος Σου, ὡς δεξαμένην τὸν λόγον Σου· δι᾿ οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, πάτερ Ὅσιε, Χριστὲ τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον τῆς Ἰνδίκτου.

Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ὁ τῶν αἰώνων ποιητὴς καὶ Δεσπότης, Θεὲ τῶν ὅλων ὑπερούσιε ὄντως, τὴν ἐνιαύσιον εὐλόγησον περίοδον, σώζων τῷ ἐλέει Σου τῷ ἀπείρῳ Οἰκτίρμον, πάντας τοὺς λατρεύοντάς Σοι τῷ μόνῳ Δεσπότῃ, καὶ ἐκβοῶντας φόβῳ· Λυτρωτά, εὔφορον πᾶσι, τὸ ἔτος χορήγησον.

* * *

## Β΄. ΔΕΗΣΕΙΣ

Εἶτα αἱ ἑξῆς δεήσεις.

Ὁ Διάκονος·

**Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

Ο Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν(δεῖνος - τοῦ ἐπιχωρίου Ἀρχιερέως).

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

## Ἐν ταῖς Ἱεραῖς Μοναῖς

Ὁ Διάκονος·

● Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Πατρὸς ἡμῶν (δεῖνος - τοῦ Ἡγουμένου) Ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

● Ἔτι δεόμεθα, ὑπὲρ τῆς Μητρὸς τῆς Ἱερᾶς Μονῆς ταύτης (δεῖνος - τῆς Ἡγουμένης) Μοναχῆς, καὶ πάσης τῆς ἐν Χριστῷ αὐτῆς Ἀδελφότητος.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα, ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν

Αὐτῷ, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, καὶ ὑπὲρ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν νέον Ἐνιαυτὸν τῆς Χρηστότητος τοῦ Κυρίου, καὶ γενέσθαι αὐτὸν εἰρηνικὸν καὶ σωτήριον.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Ἔ**τι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν (τῶν ὑπὲρ ὧν προσφέρεται ἡ Βασιλόπιττα), τῶν ἀπεκδεχομένων τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ο Λαός·

**Κ**ύριε, ἐλέησον. (ἅπαξ)

Ὁ Διάκονος·

**Τ**οῦ Κυρίου, δεηθῶμεν!

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον.

## Εὐχὴ

Ο Ἱερεὺς κλινόμενος, ἐπεύχεται χῦμα, ταπεινῇ καὶ πραείᾳ τῇ φωνῇ, εἰς ἐπήκοον τοῦ Λαοῦ·

Ὁ Ἱερεύς·

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν Σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους Σου· καὶ τοὺς οἰκτιρμούς Σου κατάπεμψον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν Λαόν Σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ Σοῦ πλούσιον ἔλεος.

Καὶ ἐκφωνεῖ ἐμμελῶς·

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός·

Ἀμήν!

* * *

## Γ΄. ΕΥΧΗ

Ὁ Διάκονος·

Τοῦ Κυρίου, δεηθῶμεν!

Ὁ Λαός·

Κύριε, ἐλέησον.

῾Ο ῾Ιερεὺς κλινόμενος, ἐπεύχεται εἰς ἐπήκοον τοῦ Λαοῦ·

῾Ο ῾Ιερεύς·

## Εὐχὴ

## ᾿Επ᾿ εὐλογίᾳ Πίττας πρὸς τιμὴν τοῦ Μεγάλου Βασιλείου

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος καὶ τὴν ζωὴν ἡμῶν εἰς χεῖρας Σου διακρατῶν·

᾿Επάκουσον ἡμῶν δεομένων Σου ἐν τῇ εὐσήμῳ ἡμέρᾳ ταύτῃ, ἐπὶ τῇ εἰσόδῳ ἡμῶν εἰς τὸν νέον ᾿Ενιαυτὸν τῆς Χρηστότητός Σου·

Καὶ εὐλόγησον τὰ δῶρα ταῦτα (εὐλογῶν-σφραγίζων τὴν προκειμένην Πίτταν), τὰ προσφερόμενα εἰς δόξαν Σὴν καὶ τιμὴν τοῦ ἐν ῾Αγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου, τοῦ καὶ ᾿Αρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας χρηματίσαντος.

᾿Επίβλεψον μεγαλόδωρε ἐξ οὐρανοῦ ἁγίου Σου καὶ κατάπεμψον ἐφ᾿ ἡμᾶς, τούς τε τὰ δῶρα ταῦτα εὐτρεπίσαντας καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας, τὰς οὐρανίους δωρεάς Σου, ὅτι ἐπὶ Σοὶ ἠλπίκαμεν, τῷ ζῶντι Θεῷ, εἰς τοὺς αἰῶνας.

Εὐλόγησον τὰς εἰσόδους καὶ ἐξόδους ἡμῶν, πλήθυνον ἐν ἀγαθοῖς τὴν ζωὴν ἡμῶν, καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν θείων Σου ἐντολῶν, ὅτι οὐκ ἐπ᾿ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος.

Πρεσβείαις τῆς Παναχράντου Σου Μητρός, τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου, καὶ πάντων Σου τῶν Ἁγίων.

Ὁ Λαός·

Ἀμήν!

* * *

# Ε΄. ΑΠΟΛΥΣΙΣ

Ὁ Ἱερεύς, ποιεῖ τὴν Ἀπόλυσιν, ἐκφωνῶν ἐμμελῶς·

Ὁ Ἱερεύς·

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι!

Ὁ Ἀναγνώστης·

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι·
Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Κύριε, ἐλέησον. (γ΄)
Πάτερ ἅγιε, εὐλόγησον.

Χῦμα, ταπεινῇ καὶ πραείᾳ τῇ φωνῇ, εἰς ἐπήκοον τοῦ Λαοῦ·

Ὁ Ἱερεύς·

Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν· ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου ἁγίας Αὐτοῦ Μητρός· δυνά-

μει τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ· **π**ροστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· **ἱ**κεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· **τ**ῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· **τ**ῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· **τ**ῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· **τ**ῶν ἁγίων καὶ δικαίων Θεοπατόρων, Ἰωακεὶμ καὶ Ἄννης· **τ**οῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, οὐρανοφάντορος τοῦ Μεγάλου· **κ**αὶ πάντων τῶν Ἁγίων· **ἐ**λεήσαι καὶ σώσαι ἡμᾶς, ὡς Ἀγαθὸς καὶ Φιλάνθρωπος.

Καὶ ἐκφωνεῖ ἐμμελῶς·

**Δ**ι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ Λαός·

**Ἀ**μήν!

✠

**Τῷ δὲ ἐν Τριάδι**
**Παναγίῳ καὶ Φιλανθρώπῳ Θεῷ ἡμῶν**
**δόξα, τιμή, προσκύνησις**
**καὶ εὐχαριστία.**

**Ἀμήν!**




✠

**Δ**ιὰ τὴν σύνταξιν τῆς παρούσης Ἀκολουθίας:

**«Τάξις Εὐλογήσεως Πίττας
πρὸς τιμὴν τοῦ Μεγάλου Βασιλείου»,**

ἐλήφθησαν ὑπ᾽ ὄψιν τὰ σχετικὰ Λειτουργικὰ Κείμενα τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας, ὡς καὶ τὰ ἑξῆς ἔργα:

**α.** *Ἐπίσημοι Δοξολογίαι Μεγάλων Ἑορτῶν καὶ Ἐπετείων,* ἐκδ. «Α.Δ.Ε.Ε.», ἔκδοσις βʹ, Ἀθῆναι 1999.

**β.** Μητροπολίτου Τίτου Ματθαιάκη, *Ἐγκόλπιον Εὐχολόγιον,* ἔκδοσις δʹ, Ἀθῆναι 2000.